*τοῦ τὸν Ἀριστόδικον. ἐπεὶ δὲ ὑπερήμερος ἐγένετο, ἐξέτεισε τὴν δίκην, καθ' ὅτι ἔπειθε. καὶ τούτων, ὡς ἀληθῆ ἐστι, μάρτυρας ἐγὼ παρέξομαι ὑμῖν. Καί μοι ἐπίλαβε τὸ ὕδωρ.*

ΜΑΡΤΥΡΕΣ.

*Πρὶν τοίνυν ταῦτα ὁμολογηθῆναι αὐτῷ, δεδιὼς τὸν* 15 *Ἀριστόδικον μεταστὰς ἐντεῦθεν Θήβησι | μετῴκει. καίτοι οἶμαι εἰδέναι ὑμᾶς ὅτι εἴπερ ἦν Πλαταιεύς, πανταχοῦ μᾶλλον ἢ Θήβησιν εἰκὸς ἦν αὐτὸν μετοικῆσαι. Ὡς οὖν ᾤκει ⟨ἐκεῖ⟩ πολὺν χρόνον, τούτων ὑμῖν μάρτυρας παρέξομαι. Καί μοι ἐπίλαβε τὸ ὕδωρ.*

ΜΑΡΤΥΡΕΣ.

*Ἐξαρκεῖν μοι νομίζω τὰ εἰρημένα, ὦ ἄνδρες δικασταί·* 16 *ἐὰν γὰρ διαμνημονεύητε, οἶδ' ὅτι τά τε δίκαια καὶ τἀληθῆ ψηφιεῖσθε, καὶ ἃ ἐγὼ ὑμῶν δέομαι.*

24.

## ΠΡΟΣ ΤΗΝ ΕΙΣΑΓΓΕΛΙΑΝ ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΙΔΟΣΘΑΙ ΤΩΙ ΑΔΥΝΑΤΩΙ ΑΡΓΥΡΙΟΝ.

*⟨Οὐ⟩ πολλοῦ δέω χάριν ἔχειν, ὦ βουλή, τῷ κατη-* 1 *γόρῳ, ὅτι μοι παρεσκεύασε τὸν ἀγῶνα τουτονί. πρό-*

---

1 *ἐπειδὴ δὲ* Fuhr 2 malim *ἔπεισε* cf. [Demosth.] L 42 7 *μεταναστὰς* Cob 10 *ἐκεῖ* hic add. Markl, ante *ᾤκει* Fuhr *τούτου ὑμῖν* Pluygers 14 *διαμνημονεύσητε ἃ ἐγὼ ὑμῶν δέομαι, οἶδ' ὅτι* pp. Herw, *διαμν. ⟨τὰ εἰρημένα, καὶ ποιήσητε⟩ ἃ ἐγὼ ὑμ. δέομαι, οἶδ' ὅτι* Francken *⟨εὖ⟩ οἶδ'* malit Tayl 15 *ἃ καὶ ἐγὼ* de Wilamowitz. Post hanc orationem in X paginae 112[a] pars dimidia vel tertia et pagina 112[b] tota vacua relinquitur 17 Or. XXIV. *πρὸς τὴν εἰσαγγελίαν* cf. Herm. XXXVII 341, Lipsius, Att. Recht 270; *περὶ τοῦ ἀδυνάτου* Harp, *ἀδύνατοι, περὶ τοῦ διδομένου τοῖς ἀδυνάτοις ὀβολοῦ* Suid. *ἀνάπηρος* 19 *Οὐ πολλοῦ* C, Markl, *ολλοῦ* littera initiali omissa X[k], *ὀλίγου* Cont, *πολλὴν ὀλίγου* Wdn

τερον <γὰρ> οὐκ ἔχων πρόφασιν ἐφ' ἧς τοῦ βίου λόγον
δοίην, νυνὶ διὰ τοῦτον εἴληφα. καὶ πειράσομαι τῷ λόγῳ
τοῦτον μὲν ἐπιδεῖξαι ψευδόμενον, ἐμαυτὸν δὲ βεβιωκότα
μέχρι τῆσδε τῆς ἡμέρας ἐπαίνου μᾶλλον ἄξιον ἢ φθό-
νου· διὰ γὰρ οὐδὲν ἄλλο μοι δοκεῖ παρασκευάσαι τόνδε
2 μοι τὸν κίνδυνον οὗτος ἢ διὰ φθόνον. καίτοι ὅστις τού-
τοις φθονεῖ οὓς οἱ ἄλλοι ἐλεοῦσι, τίνος ἂν ὑμῖν ὁ τοι-
οῦτος ἀποσχέσθαι δοκεῖ πονηρίας; εἰ μὲν γὰρ ἕνεκα χρη-
μάτων με συκοφαντεῖ —· εἰ δ' ὡς ἐχθρὸν ἑαυτοῦ με
τιμωρεῖται, ψεύδεται· διὰ γὰρ τὴν πονηρίαν αὐτοῦ οὔτε
φίλῳ οὔτε ἐχθρῷ πώποτε ἐχρησάμην αὐτῷ. ἤδη τοίνυν,
ὦ βουλή, δῆλός ἐστι φθονῶν, ὅτι τοιαύτῃ κεχρημένος
συμφορᾷ τούτου βελτίων εἰμὶ πολίτης. καὶ γὰρ οἶμαι
3 δεῖν, ὦ βουλή, τὰ τοῦ σώματος δυστυχήματα τοῖς τῆς
ψυχῆς ἐπιτηδεύμασιν ἰᾶσθαι, εἰκότως. εἰ γὰρ ἐξ ἴσου
τῇ συμφορᾷ καὶ τὴν διάνοιαν ἕξω καὶ τὸν ἄλλον βίον
διάξω, τί τούτου διοίσω;
4 Περὶ μὲν οὖν τούτων τοσαῦτά μοι εἰρήσθω· ὑπὲρ
ὧν δέ μοι προσήκει λέγειν, ὡς ἂν οἷόν <τε> διὰ βρα-
χυτάτων ἐρῶ. φησὶ γὰρ ὁ κατήγορος οὐ δικαίως με
λαμβάνειν τὸ παρὰ τῆς πόλεως ἀργύριον· καὶ γὰρ τῷ
σώματι δύνασθαι καὶ οὐκ εἶναι τῶν ἀδυνάτων, καὶ τέχ-
νην ἐπίστασθαι τοιαύτην ὥστε καὶ ἄνευ τοῦ διδομένου

---

1 γὰρ add. C, Rs   ἐφ' ᾗ Dobr   4 ἐπαίνου] ἐλέου Hamaker   ἀξίως vel ἄξια Rs, ἄξιον ὄντ' Fuhr, <βίον> βεβιωκ. Cont   6 μοι ante τὸν del. Wdn   8 δοκῇ X   εἰ μὲν] οὐ μὲν Sauppe, οὐ Frb   9 με est in X   post συκοφαντεῖ subaudi ἄφρων ἐστί, id quod gestu indicatur cf. Guttentag, progr. Aarau 1878   εἰ δ'] οὐδ' Cob   10 ψεύδεται del. Cob   αὐτοῦ del. Herw   13 τούτου] αὐτοῦ Pluygers   15 εἰκότως (vel δικαίως) P. Müller: καλῶς X, καλοῖς Markl, del. Cob   18 οὖν τούτου Dobr   19 οἷόν τε C: οἷον X, οἷός τ' ὦ P. Müller, οἷόν τ' ᾖ Schulze, sed cf. Ant. V 32   22 καὶ οὐκ εἶναι τῶν ἀδ. del. Tayl   23 ὥστε κἂν Herw

τούτου ζῆν. καὶ τεκμηρίοις χρῆται τῆς μὲν τοῦ σώματος 5
ῥώμης, ὅτι ἐπὶ τοὺς ἵππους ἀναβαίνω, τῆς δ' ἐν τῇ τέχνῃ
εὐπορίας, ὅτι δύναμαι συνεῖναι δυναμένοις ἀνθρώποις
ἀναλίσκειν. τὴν μὲν οὖν ἐκ τῆς τέχνης εὐπορίαν καὶ
τὸν ἄλλον τὸν ἐμὸν βίον, οἷος τυγχάνει, πάντας ὑμᾶς
οἴομαι γιγνώσκειν· ὅμως δὲ κἀγὼ διὰ βραχέων ἐρῶ.
ἐμοὶ γὰρ ὁ μὲν πατὴρ κατέλιπεν οὐδέν, τὴν δὲ μητέρα 6
τελευτήσασαν πέπαυμαι τρέφων τρίτον ἔτος τουτί, παῖδες
δέ μοι οὔπω εἰσὶν οἵ με θεραπεύσουσι. τέχνην δὲ κέ-
κτημαι βραχέα δυναμένην ὠφελεῖν, ἣν αὐτὸς μὲν ἤδη
χαλεπῶς ἐργάζομαι, τὸν διαδεξόμενον δ' αὐτὴν οὔπω
δύναμαι κτήσασθαι. πρόσοδος δέ μοι οὐκ ἔστιν ἄλλη
πλὴν ταύτης, ἣν ἐὰν ἀφέλησθέ με, κινδυνεύσαιμ' ἂν
ὑπὸ τῇ δυσχερεστάτῃ γενέσθαι τύχῃ. μὴ τοίνυν, ἐπειδή 7
γε ἔστιν, ὦ βουλή, σῶσαί με δικαίως, ἀπολέσητε ἀδίκως·
μηδὲ ἃ νεωτέρῳ καὶ μᾶλλον ἐρρωμένῳ ὄντι ἔδοτε, πρε-
σβύτερον καὶ ἀσθενέστερον γιγνόμενον ἀφέλησθε· μηδὲ
πρότερον καὶ περὶ τοὺς οὐδὲν ἔχοντας κακὸν ἐλεημο-
νέστατοι δοκοῦντες εἶναι νυνὶ διὰ τοῦτον τοὺς καὶ τοῖς
ἐχθροῖς ἐλεινοὺς ὄντας ἀγρίως ἀποδέξησθε· μηδ' ἐμὲ
τολμήσαντες ἀδικῆσαι καὶ τοὺς ἄλλους τοὺς ὁμοίως ἐμοὶ
διακειμένους ἀθυμῆσαι ποιήσητε. καὶ γὰρ ἂν ἄτοπον 8
εἴη, ὦ βουλή, εἰ ὅτε μὲν ἁπλῆ μοι ἦν ἡ συμφορά, τότε
μὲν φαινοίμην λαμβάνων τὸ ἀργύριον τοῦτο, νῦν δ'
ἐπειδὴ καὶ γῆρας καὶ νόσοι καὶ τὰ τούτοις ἑπόμενα κακὰ |

2 *ἐν τῇ τέχνῃ* del. Baiter, *ἐκ τῆς τέχνης* Tayl 3 *ὅτι* ⟨*ἐξ ἴσου*⟩ pp. Herw *ἀνθρώποις* del. Francken 4 *τῆς μὲν οὖν* X *εὐπορίας καὶ τῶν ἄλλων* X 5 *τυγχάνει* ⟨*ὤν*⟩ Rs 9 *μοι οὔπω*] *μοι οὐκ* Herw coll. § 8 13 *ἣν* Cont: *ἧς* X 15 *γ'* ⟨*ἐν ὑμῖν*⟩ *ἔστιν* Rs 17 *ἀσθ. γενόμενον* Wdn 19 *τοὺς καὶ* Rs: *καὶ τοὺς* X 20 *ἀγρ. ἀποδιώξητε* Francken 24 *ἐφαινόμην* Hertlein, sed cf. Gebauer, arg. contr. 202 25 *ἑπόμενα* Rs: *ἐχόμενα* XC

9 προσγίγνεταί μοι, τότε ἀφαιρεθείην. δοκεῖ δέ μοι τῆς πενίας τῆς ἐμῆς τὸ μέγεθος ὁ κατήγορος ἂν ἐπιδεῖξαι σαφέστατα μόνος ἀνθρώπων. εἰ γὰρ ἐγὼ κατασταθεὶς χορηγὸς τραγῳδοῖς προκαλεσαίμην αὐτὸν εἰς ἀντίδοσιν, δεκάκις ἂν ἕλοιτο χορηγῆσαι μᾶλλον ἢ ἀντιδοῦναι ἅπαξ. καὶ πῶς οὐ δεινόν ἐστι νῦν μὲν κατηγορεῖν ὡς διὰ πολλὴν εὐπορίαν ἐξ ἴσου δύναμαι συνεῖναι τοῖς πλουσιωτάτοις, εἰ δὲ ὧν ἐγὼ λέγω τύχοι τι γενόμενον, ⟨ὁμολογεῖν ἄν με⟩ τοιοῦτον εἶναι καὶ ἔτι πονηρότερον;

10 Περὶ δὲ τῆς ἐμῆς ἱππικῆς, ἧς οὗτος ἐτόλμησε μνησθῆναι πρὸς ὑμᾶς, οὔτε τὴν τύχην δείσας οὔτε ὑμᾶς αἰσχυνθείς, οὐ πολὺς ὁ λόγος. εἰκὸς γάρ, ὦ βουλή, πάντας τοὺς ἔχοντάς τι δυστύχημα τοῦτο ζητεῖν καὶ τοῦτο φιλοσοφεῖν, ὅπως ὡς ἀλυπότατα μεταχειριοῦνται τὸ συμβεβηκὸς πάθος. ὧν εἷς ἐγώ, καὶ περιπεπτωκὼς τοιαύτῃ συμφορᾷ ταύτην ἐμαυτῷ ῥᾳστώνην ἐξηῦρον εἰς
11 τὰς ὁδοὺς τὰς μακροτέρας τῶν ἀναγκαίων. ὃ δὲ μέγιστον, ὦ βουλή, τεκμήριον ὅτι διὰ τὴν συμφορὰν ἀλλ' οὐ διὰ τὴν ὕβριν, ὡς οὗτός φησιν, ἐπὶ τοὺς ἵππους ἀναβαίνω

---

1 τότε (altero loco)] τοῦτο Rosenberg, sed cf. Gebauer ib. 113 3 μόνος del. Cob, καὶ μόνος Wdn 4 προκαλεσαίμην Rs: προσκαλεσαίμην X 6 καὶ πῶς] εἶτα πῶς C, καίτοι πῶς Cob, κᾆτα πῶς Gebauer 8 τι γεν. Emperius: τις γεν. X, τύχοιμι γενόμενος Wdn ὁμολογεῖν ἂν add. Kayser, με add. secundum Rauchensteinium Fuhr 9 καὶ ἔτι ἀπορώτερον Kayser, τοιοῦτον ἂν ἐμὲ κρῖναι Heldmann, τοιοῦτον ἂν εἶναι; καὶ τί πονηρότερον; Gebauer secundum Halmium, καὶ τί ἔτι πον.; Sauppe, καὶ ἔστι τι πον.; Scheibe, τότε πτωχὸν εἶναι (vel πενέστερον τότ' ἂν ἡγεῖσθαι) καὶ ἔτι πον.; Wdn 12 εἰκὸς Kayser: ἐγὼ X, quo servato γὰρ ⟨ὁρῶ⟩ Sauppe, γὰρ ⟨ἡγοῦμαι⟩ post Stephanum Fuhr, πάντας ⟨οἶμαι⟩ C, ἔγνων γὰρ Scheibe 13 τοῦτο (ante ζητεῖν) post Stephanum Fuhr: τοιοῦτο X (quo servato) ζητεῖν τοῦτο καὶ Francken, τοιοῦτόν τι Sauppe, τοῦτ' ⟨οἶμαι⟩ Wdn 15 ἐγὼ ⟨ὢν⟩ καὶ Rs, ἐγὼ ὢν περ. Herw 19 δι' ὕβριν Dobr

[ῥᾴδιόν ἐστι μαθεῖν]. εἰ γὰρ ἐκεκτήμην οὐσίαν, ἐπ' ἀστράβης ἂν ὠχούμην, ἀλλ' οὐκ ἐπὶ τοὺς ἀλλοτρίους ἵππους ἀνέβαινον· νυνὶ δ' ἐπειδὴ τοιοῦτον οὐ δύναμαι κτήσασθαι, τοῖς ἀλλοτρίοις ἵπποις ἀναγκάζομαι χρῆσθαι πολλάκις. καίτοι πῶς οὐκ ἄτοπόν ἐστιν, ὦ βουλή, τοῦ- **12** τον ἄν, εἰ μὲν ἐπ' ἀστράβης ὀχούμενον ἑώρα με, σιωπᾶν (τί γὰρ ἂν καὶ ἔλεγεν;), ὅτι δ' ἐπὶ τοὺς ᾐτημένους ἵππους ἀναβαίνω, πειρᾶσθαι πείθειν ὑμᾶς ὡς δυνατός εἰμι; καὶ ὅτι μὲν δυοῖν βακτηρίαιν χρῶμαι, τῶν ἄλλων μιᾷ χρωμένων, μὴ κατηγορεῖν ὡς καὶ τοῦτο τῶν δυναμένων ἐστίν· ὅτι δ' ἐπὶ τοὺς ἵππους ἀναβαίνω, τεκμηρίῳ χρῆσθαι πρὸς ὑμᾶς ὥς εἰμι τῶν δυναμένων; οἷς ἐγὼ διὰ τὴν αὐτὴν αἰτίαν ἀμφοτέροις χρῶμαι.

Τοσοῦτον δὲ διενήνοχεν ἀναισχυντίᾳ τῶν ἁπάντων **13** ἀνθρώπων, ὥστε ὑμᾶς πειρᾶται πείθειν, τοσούτους ὄντας εἷς ὤν, ὡς οὔκ εἰμι τῶν ἀδυνάτων ἐγώ· καίτοι εἰ τοῦτο πείσει τινὰς ὑμῶν, ὦ βουλή, τί με κωλύει κληροῦσθαι τῶν ἐννέα ἀρχόντων, καὶ ὑμᾶς ἐμοῦ μὲν ἀφελέσθαι τὸν ὀβολὸν ὡς ὑγιαίνοντος, τούτῳ δὲ ψηφίσασθαι πάντας ὡς ἀναπήρῳ; οὐ γὰρ δήπου τὸν αὐτὸν ὑμεῖς μὲν ὡς δυνάμενον ἀφαιρήσεσθε τὸ διδόμενον, οἱ δὲ ⟨θεσμοθέται⟩ ὡς ἀδύνατον ὄντα κληροῦσθαι κωλύσουσιν. ἀλλὰ γὰρ οὔτε ὑμεῖς τούτῳ τὴν αὐτὴν ἔχετε γνώμην, **14**

---

1 ῥᾴδιόν ἐστι μαθεῖν del. Scheibe 3 τοιοῦτόν τι Cob οὐ δύν.] οὐδὲν δύν. Dobr 5 πολλάκις del. Pluygers 6 ἂν (pone τοῦτον) Wdn: αὐτὸν X, ἂν αὐτὸν Kayser, σιωπᾶν ⟨ἂν⟩ Scheibe 9 εἰμι Kayser: εἴην X 13 ἀμφοτέραις (sic) ⟨οὐ⟩ χρῶμαι Rs 17 κωλύσει Frb, sed cf. Gentsch, diss. Jen. IV 231 Suid. s. ἀνάπηρος· καὶ τί κωλύει ὑμᾶς μὲν ὠφελεῖσθαι τῷ ὀβολῷ ὡς ὑγιεῖς ὄντας, τούτῳ δὲ ψηφίσασθαι ἐάσαντας ὡς ἀναπήρῳ 18 ὑμᾶς νῦν μὲν ἐμοῦ ἀφελ. pp. Herw, ὑμᾶς νῦν μὲν ἀφ. . . . τότε δὲ ψηφ. Wdn secundum Dobraeum 20 πάντας] ἐλεήσαντας Frb 21 θεσμοθέται add. Frb, νόμοι add. Pluygers

οὔθ' οὗτος ⟨ὑμῖν⟩ εὖ ποιῶν. ὁ μὲν γὰρ ὥσπερ ἐπι-
κλήρου τῆς συμφορᾶς οὔσης ἀμφισβητήσων ἥκει καὶ
πειρᾶται πείθειν ὑμᾶς ὡς οὐκ εἰμι τοιοῦτος οἷον ὑμεῖς
ὁρᾶτε πάντες· ὑμεῖς δὲ (ὃ τῶν εὖ φρονούντων ἔργον
ἐστί) μᾶλλον πιστεύετε τοῖς ὑμετέροις αὐτῶν ὀφθαλμοῖς
ἢ τοῖς τούτου λόγοις.
**15** Λέγει δ' ὡς ὑβριστής εἰμι καὶ βίαιος καὶ λίαν ἀσελ-
γῶς διακείμενος, ὥσπερ εἰ φοβερῶς ὀνομάσειε, μέλλων
ἀληθῆ λέγειν, ἀλλ' οὐκ, ἐὰν πάνυ πραόνως [μηδὲ ψεύ-
δηται], ταῦτα ποιήσων. ἐγὼ δ' ὑμᾶς, ὦ βουλή, σαφῶς
οἶμαι δεῖν διαγιγνώσκειν οἷς τ' ἐγχωρεῖ τῶν ἀνθρώπων
**16** ὑβρισταῖς εἶναι καὶ οἷς οὐ προσήκει. οὐ γὰρ ⟨τοὺς⟩
πενομένους καὶ λίαν ἀπόρως διακειμένους ὑβρίζειν εἰκός,
ἀλλὰ τοὺς πολλῷ πλείω τῶν ἀναγκαίων κεκτημένους·
οὐδὲ τοὺς ἀδυνάτους τοῖς σώμασιν ὄντας, ἀλλὰ τοὺς
μάλιστα πιστεύοντας ταῖς αὑτῶν ῥώμαις· οὐδὲ τοὺς ἤδη
προβεβηκότας τῇ ἡλικίᾳ, ἀλλὰ τοὺς ἔτι νέους καὶ νέαις
**17** ταῖς διανοίαις χρωμένους. οἱ μὲν γὰρ πλούσιοι τοῖς
χρήμασιν ἐξωνοῦνται τοὺς κινδύνους, οἱ δὲ πένητες
ὑπὸ τῆς παρούσης ἀπορίας σωφρονεῖν ἀναγκάζονται·
καὶ οἱ μὲν νέοι συγγνώμης ἀξιοῦνται τυγχάνειν παρὰ

---

1 ὑμῖν post Contium add. Rs, οὔθ' ὅστις εὖ φρονῶν Markl, οὔτ' οὐδεὶς εὖ φρ. Reuss, οὔθ' οὗτος εὖ νοῶν Sauppe, οὔθ' οὗτος εὖ φρονεῖ pp. Herw, οὔθ' οὗτος ἑαυτῷ Kayser, οὔθ' οὗτος ἐμὲ εὖ ποιῶν Heldmann, οὔθ' οὗτος εὔλογα δοκεῖ ποιεῖν Jebb, οὔθ' οὗτος σπουδάζει εὖ ποιῶν Wdn secundum Naberum, οὔθ' οὗτος ὑμῖν· ὁ μὲν γὰρ παρανοῶν (vel εὖ ποιῶν) P. Müller ἐπὶ κλήρου X, ὡς περὶ ἐπικλήρου deleta voce οὔσης Francken 7 λέγει C: λέγω X 8 ὀνομάσαι X, εἰ φθονεροῖς ὀνόμασι χρήσαιτο Cob μέλλων ⟨δόξειν⟩ Herw 9 πραόνως Tur: πρᾶον ὡς X μηδὲ ψεύδηται del. Kayser, μηδὲν ψ. Emperius, ὡσπερεὶ φοβεροῖς ὀνόμασι μέλλων ἀλ. λέγ. ἀλλ' οὐχ ἂν πάνυ πραόνως μηδὲ ψευδῆ, ταῦτα πείσων Francken, μηδὲ ψευδῆ ταὐτὰ ποιήσων Madvig, πραόνως ψεύδηται, πιστὰ ποιήσων Wdn 12 τοὺς add. Rs 17 καὶ νεανικαῖς Bake

τῶν πρεσβυτέρων, τοῖς δὲ πρεσβυτέροις ἐξαμαρτάνουσιν
ὁμοίως ἐπιτιμῶσιν ἀμφότεροι· καὶ τοῖς μὲν ἰσχυροῖς 18
ἐγχωρεῖ μηδὲν αὐτοῖς πάσχουσιν, οὓς ἂν βουληθῶσιν,
ὑβρίζειν, τοῖς δὲ ἀσθενέσιν οὐκ ἔστιν οὔτε ὑβριζομένοις
ἀμύνεσθαι τοὺς ὑπάρξαντας οὔτε ὑβρίζειν βουλομένοις
περιγίγνεσθαι τῶν | ἀδικουμένων. ὥστε μοι δοκεῖ ὁ
κατήγορος εἰπεῖν περὶ τῆς ἐμῆς ὕβρεως οὐ σπουδάζων,
ἀλλὰ παίζων, οὐδ' ὑμᾶς πεῖσαι βουλόμενος ὥς εἰμι τοι-
οῦτος, ἀλλ' ἐμὲ κωμῳδεῖν βουλόμενος, ὥσπερ τι καλὸν
ποιῶν.

Ἔτι δὲ καὶ συλλέγεσθαί φησιν ἀνθρώπους ὡς ἐμὲ 19
πονηροὺς καὶ πολλούς, οἳ τὰ μὲν ἑαυτῶν ἀνηλώκασι,
τοῖς δὲ τὰ σφέτερα σῴζειν βουλομένοις ἐπιβουλεύουσιν.
ὑμεῖς δὲ ἐνθυμήθητε πάντες ὅτι ταῦτα λέγων οὐδὲν
ἐμοῦ κατηγορεῖ μᾶλλον ἢ τῶν ἄλλων ὅσοι τέχνας ἔχου-
σιν, οὐδὲ τῶν ὡς ἐμὲ εἰσιόντων μᾶλλον ἢ τῶν ὡς τοὺς
ἄλλους δημιουργούς. ἕκαστος γὰρ ὑμῶν εἴθισται προσ- 20
φοιτᾶν ὁ μὲν πρὸς μυροπώλιον, ὁ δὲ πρὸς κουρεῖον, ὁ
δὲ πρὸς σκυτοτομεῖον, ὁ δ' ὅποι ἂν τύχῃ, καὶ πλεῖστοι
μὲν ὡς <τοὺς> ἐγγυτάτω τῆς ἀγορᾶς κατεσκευασμένους,
ἐλάχιστοι δὲ ὡς τοὺς πλεῖστον ἀπέχοντας αὐτῆς· ὥστ'
εἴ τις ὑμῶν πονηρίαν καταγνώσεται τῶν ὡς ἐμὲ εἰσιόν-
των, δῆλον ὅτι καὶ τῶν παρὰ τοῖς ἄλλοις διατριβόντων·
εἰ δὲ κἀκείνων, ἁπάντων Ἀθηναίων· ἅπαντες γὰρ εἴ-
θισθε προσφοιτᾶν καὶ διατρίβειν ἁμουγέπου.

---

1 πρεσβυτέροις Frb: ἑτέροις X, γέρουσιν Herw, γεραιτέροις Zaka 3 οὓς ἐὰν β. X 5 ὑπάρξαντας C, Steph: συνάρξαντας X 9 βουλόμενος altero loco del. Cob καλὸν εἰπών Markl 16 ἢ ὑμῶν ὡς τοὺς Wdn 18 μυροπώλιον cf. Ar. Ran. 112, μυροπωλεῖον C οἱ δὲ πρὸς κουρ. X 19 ὅπη ἂν τύχοι X 20 τοὺς add. C, Steph 21 τοὺς πλ. C, Steph: οὐ πλ. X 25 ἁμουγέπου Morgan, ἁμοῦ γέ που Bekker: ἄλλου γέ που X

21 Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅ τι δεῖ λίαν με ἀκριβῶς ἀπο-
λογούμενον πρὸς ἓν ἕκαστον ὑμῖν τῶν εἰρημένων ἐνο-
χλεῖν πλείω χρόνον. εἰ γὰρ ὑπὲρ τῶν μεγίστων εἴρηκα,
τί δεῖ περὶ τῶν φαύλων ὁμοίως τούτῳ σπουδάζειν; ἐγὼ
δ' ὑμῶν, ὦ βουλή, δέομαι πάντων τὴν αὐτὴν ἔχειν περὶ
22 ἐμοῦ διάνοιαν, ἥνπερ καὶ πρότερον· μὴ οὗ μόνου μετα-
λαβεῖν ἔδωκεν ἡ τύχη μοι τῶν ἐν τῇ πατρίδι, τούτου
διὰ τουτονὶ ἀποστερήσητέ με· μηδ' ἃ πάλαι κοινῇ πάν-
τες ἔδοτέ μοι, νῦν οὗτος εἷς ὢν πείσῃ πάλιν ὑμᾶς ἀφε-
λέσθαι. ἐπειδὴ γάρ, ὦ βουλή, τῶν μεγίστων [ἀρχῶν]
ὁ δαίμων ἀπεστέρησεν ἡμᾶς, ἡ πόλις ἡμῖν ἐψηφίσατο
τοῦτο τὸ ἀργύριον, ἡγουμένη κοινὰς εἶναι τὰς τύχας
23 τοῖς ἅπασι καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν. πῶς οὖν
οὐκ ἂν δειλαιότατος εἴην, εἰ τῶν μὲν καλλίστων καὶ με-
γίστων διὰ τὴν συμφορὰν ἀπεστερημένος εἴην, ἃ δ' ἡ
πόλις ἔδωκε προνοηθεῖσα τῶν οὕτως διακειμένων, διὰ
τὸν κατήγορον ἀφαιρεθείην; μηδαμῶς, ὦ βουλή, ταύτῃ
θῆσθε τὴν ψῆφον. διὰ τί γὰρ ἂν καὶ τύχοιμι τοιούτων
24 ὑμῶν; πότερον ὅτι δι' ἐμέ τις εἰς ἀγῶνα πώποτε κατα-
στὰς ἀπώλεσε τὴν οὐσίαν; ἀλλ' οὐδ' ἂν εἷς ἀποδείξειεν.
ἀλλ' ὅτι πολυπράγμων εἰμὶ καὶ θρασὺς καὶ φιλαπε-
χθήμων; ἀλλ' οὐ τοιαύταις ἀφορμαῖς τοῦ βίου [πρὸς τὰ
25 τοιαῦτα] τυγχάνω χρώμενος. ἀλλ' ὅτι λίαν ὑβριστὴς

3 περὶ τῶν μεγ. ⟨ἱκανῶς⟩ Frb 4 φαύλων ὁμοίως τούτῳ Dobr: ὁμοίως τούτω φαύλων X, περὶ φαύλ. ὁμ. τούτῳ ⟨αὐτῷ⟩ Heldmann 6 καὶ ⟨αἱ⟩ πρότερον Bake μὴ scripsi: μηδ' X, μὴ ⟨οὖν⟩ Fuhr, μὴ ⟨τοίνυν⟩ Wdn, μὴ ⟨δὴ⟩ Herw μόνου Markl: μόνον X 10 ἀρχῶν del. Frb, ἀγαθῶν Zaka 14 δειλαιότατος Markl: δικαιότατος X εἴην cf. Gebauer arg. 204, ἦν Hertlein, εἰμι Frb 18 θῆσθε Bekker: θέσθε X τὴν ψῆφον Cont: τῇ ψήφω X 22 τοιαύταις ⟨ταῖς⟩ Halb πρὸς τὰ τοιαῦτα del. Francken Fuhr verba ἀλλ οὐ . . . 23 χρώμενος pone βίαιος et verba p. 255, 1 ἀλλ' οὐδ' . . . 2 ὁμοίως pone φιλαπεχθήμων transponit

καὶ βίαιος; ⟨ἀλλ'⟩ οὐδ' ἂν αὐτὸς φήσειεν, εἰ μὴ βούλοιτο καὶ τοῦτο ψεύδεσθαι τοῖς ἄλλοις ὁμοίως. ἀλλ' ὅτι ἐπὶ τῶν τριάκοντα γενόμενος ἐν δυνάμει κακῶς ἐποίησα πολλοὺς τῶν πολιτῶν; ἀλλὰ μετὰ τοῦ ὑμετέρου πλήθους ἔφυγον εἰς Χαλκίδα [τὴν ἐπ' Εὐρίπῳ], καὶ ἐξόν μοι μετ' ἐκείνων ἀδεῶς πολιτεύεσθαι, μεθ' ὑμῶν εἱλόμην κινδυνεύειν ἀπελθών. μὴ τοίνυν, ὦ βουλή, 26
μηδὲν ἡμαρτηκὼς ὁμοίων ὑμῶν τύχοιμι τοῖς πολλὰ ἠδικηκόσιν, ἀλλὰ τὴν αὐτὴν ψῆφον θέσθε περὶ ἐμοῦ ταῖς ἄλλαις βουλαῖς, ἀναμνησθέντες ὅτι οὔτε χρήματα διαχειρίσας τῆς πόλεως δίδωμι λόγον αὐτῶν, οὔτε ἀρχὴν ἄρξας οὐδεμίαν εὐθύνας ὑπέχω νῦν αὐτῆς, ἀλλὰ περὶ ὀβολοῦ μόνον ποιοῦμαι τοὺς λόγους. καὶ οὕτως ὑμεῖς 27
μὲν τὰ δίκαια γνώσεσθε πάντες, ἐγὼ δὲ τούτων ὑμῖν τυχὼν ἕξω τὴν χάριν, οὗτος δὲ τοῦ λοιποῦ μαθήσεται μὴ τοῖς ἀσθενεστέροις ἐπιβουλεύειν ἀλλὰ τῶν ὁμοίων αὐτῷ περιγίγνεσθαι.

25.

## [ΔΗΜΟΥ ΚΑΤΑΛΥΣΕΩΣ] ΑΠΟΛΟΓΙΑ.

Ὑμῖν μὲν πολλὴν συγγνώμην ἔχω, ὦ ἄνδρες δικασταί, 1
ἀκούουσι τοιούτων λόγων καὶ ἀναμιμνῃσκομένοις τῶν γεγενημένων, ὁμοίως ἅπασιν ὀργίζεσθαι τοῖς ἐν ἄστει μείνασι· τῶν δὲ κατηγόρων θαυμάζω, οἳ ἀμελοῦντες

1 ἀλλ' add. C αὐτὸς ⟨οὗτος⟩ malit Frb 5 τὴν ἐπ' Εὐρίπῳ del. Frb 7 ἀπελθών Baeker: ἀπάντων X, ⟨περὶ⟩ ἁπάντων Dobr, ἅπαντα Scheibe, ἀπαντῶν West, ἀπόντων vel ἀποδημούντων P. Müller, ⟨ἐνδεὴς⟩ ἁπάντων Rs, ἀποδημῶν Reuss 8 ὁμοίων Cont: ὁμοίως X 12 αὐτῆς ex αὐτῶν a pr. m. X 13 ὀβολοῦ cf. Harp. ἀδύνατοι 14 τοιούτων ὑμῶν τυχὼν Markl 19 Or. XXV. δήμου καταλύσεως delevi cf. Meier-Lipsius, Att. Proz.[2] 246, Lipsius, Att. Recht 270 22 εἰ ὁμ. ἅπ. ὀργίζεσθε C 23 εἰ ἀμελοῦντες Markl, ὅτι ἀμ. Francken, οἳ . . . ἐπιμελοῦνται deleverit Gebauer